A

τῆς ἀνθρωπίνης φωνῆς λέγεται, ὅταν τις τὸν κόκκυγα μιμούμενος κοκκύζει, κωκύει, καὶ θρηνεῖ. Ἥπερ πέρυσιν] ἐντεῦθεν δῆλον τραγῳδίαν ἐπιγραφὴν Ἀνδρομέδαν ὑπὸ Εὐριπίδου ποιηθεῖσαν. Ξυναγωνιζομένη] ξυναγωνίζεσθαί τινι, συνδικεῖν τινι, καὶ παρεῖναί τινι ἐν τῷ δικαστηρίῳ, καὶ προστατεῖν αὐτοῦ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πολέμοις, καὶ μάχαις ξυναγωνιζομένων. Ἵππευμα] ἱππασίαν, πορείαν. τοῦτο δὲ ποιητικόν. οἱ γὰρ ποιηταὶ τὴν νύκτα ὡς θεὰν μυθεύουσι καὶ ἵππους, καὶ ἅρματα, καὶ ἱππασίας νυκτερινὰς αὐτῇ περιάπτουσι. Περίαλλα] ἐπιρρηματικῶς τοῦτο ληπτέον ἀντὶ τοῦ περιάλλως, τουτέστιν ἐξόχως, κατ' ἐξοχὴν, διαφερόντως. περιάλλα τῶν ἀντὶ τοῦ, παρὰ πάσας τὰς ἄλλας γυναῖκας. Μνησίλοχος δὲ ὡς Ἀνδρομέδη περὶ τῆς αὐτοῦ μεγίστης δυστυχίας ταῦτα λέγει, καὶ θρηνεῖ. διὰ τί ποτε ἐγὼ δυστυχὴς κακῶν μέρος ἐξέλαχον, ἐκληρωσάμην πολὺ μεῖζον, ἢ αἱ ἄλλαι γυναῖκες; διὰ τί μόνη πασῶν εἰμι δυστυχεστάτη; Θανάτου τλήμων] ὦ τλήμων ἐγὼ ἕνεκα τοῦ θανάτου, ὃν ἤδη ἀθυμοῦσα περιμένω.

B

Μν. Ἀπολεῖς μ' ὦ γραῦ στωμυλλομένη.
Ηχ. Στωμυλλομένη.
Μν. Νὴ Δία. ὀχληρά γ' εἰσήρρηκας
λίαν. Ηχ. Λίαν.
Μν. Ὦ 'γάθ' ἔασόν με μονῳδῆσαι.
Καὶ χαριεῖ μοι.
Παῦσαι. Ηχ. Παῦσαι.

C

Μν. Βάλλ' ἐς κόρακας. Ηχ. Βάλλ' ἐς κόρακας.
Μν. Τί τὸ κακόν. Ηχ. Τί τὸ κακόν.
Μν. Ληρεῖς. Ηχ. Ληρεῖς.
Μν. Οἴμωζε. Ηχ. Οἴμωζε.
Μν. Ὀτότυζε. Ηχ. Ὀτότυζε.
Σκ. Οὗτος τί λαλεῖς; Ηχ. Οὗτος τί λαλεῖς.
Σκ. Πρυτάνεις καλέσω. Ηχ. Πρυτάνεις καλέσω.

D

Σκ. Σὶ κακόν. Ηχ. Σὶ κακόν.
Σκ. Ποτετοπωνή. Ηχ. Ποτετοπωνή.
Σκ. Σὶ λαλεῖς. Ηχ. Σὶ λαλεῖς.
Σκ. Κλαύσαιμι. Ηχ. Κλαύσαιμι.
Σκ. Κακκάσκιμοι. Ηχ. Κακκάσκιμοι.
Σκ. Μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὐτῇ. Ηχ. Πλησίον αὐτῇ.
Σκ. Ποῦ 'σθ' ἡ μιαρά.
Καὶ δὴ φεύγει.

E

Ποῖ ποῖ φεύγεις, οὐ χαιρήσεις.
Ἔτι γὰρ γρύζεις. Ηχ. Ἔτι γὰρ γρύζεις.
Σκ. Λάβε τὴ μιαρά. Ηχ. Λάβε τὴ μιαρά.
Λαλοκαὶ καταρατο γυνάικο.

MN. *Perdis me ô anus blaterans.*
ECH. *Blaterans.*
MN. *Profectò molesta quidem in malam crucem ingressa es*
*Valde.* ECH. *Valde.*
MN. *O bone, sine me naniam canere,*
*Et gratificaberis mihi.*
*Desine.* ECH. *Desine.*
MN. *Abi in malã rẽ.* ECH. *Abi in malam rem.*
MN. *Quidnam est hoc malum?* ECH. *Quidnam est hoc malum?*
MN. *Nugaris.* ECH. *Nugaris,*
MN. *Plora.* ECH. *Plora.*
MN. *Geme.* ECH. *Geme.*
SC. *Heus tu quid nugaris?* ECH. *Heus tu quid nugaris?*
SC. *Principes ciuitatis vocabo.* ECH. *Principes ciuitatis vocabo.*
SC. *Quidnam hoc malum est?* ECH. *Quidnam hoc malum est?*
SC. *Quanam est hæc vox?* ECH. *Quanam est hæc vox?*
SC. *Quid nugaris?* ECH. *Quid nugaris?*
SC. *Plorabis.* ECH. *Plorabis.*
SC. *Lamentaberis.* ECH. *Lamentaberis.*
SC. *Non per Iouem, sed mulier propè hæc.*
ECH. *Propè hæc.*
SC. *Vbi est scelesta? & quidem fugit,*
*Quò quò fugis? nonne capies?*
*Adhuc enim mussas?* Ech. *Adhuc enim mussas?*
SC. *Cõprehẽde scelestã.* Ech. *Cõprehẽde scelestã,*
*Loquacem & scelestam mulierem.*

BOVRDINVS. Στωμυλλομένη.] πολυλαλοῦσα, ἀμετρολογοῦσα, καὶ στωμύλματα λέγουσα. Ὀχληρά.] ἐπαχθὴς, χαλεπὴ, καὶ ἄκαιρος. Εἰσήρρηκας.] εἰσέβης, εἰσῆλθες. ἔρρειν γὰρ σημαίνει ἥκειν, ἔρχεσθαι. Λίαν] πάνυ. Μονῳδῆσαι.] τουτέστι μόνην ᾄδειν καὶ θρηνεῖν. Χαριεῖ μοι.] χάριν ποιήσει. τοῦτο δὲ ἀδύνατόν ἐστιν. καὶ γὰρ ἡ ἠχὼ ἀεὶ ἀντᾴδει καὶ ἀντηχεῖ, ἀντικτυπεῖ τε. Βάλλ' ἐς κόρακας.] ἔρρε ἐς κόρακας. Ὀτότυζε] λέγε, θρήνει. Ποτετοπωνή.] τουτέστι αὕτη δὲ τίς ἐστι φωνὴ, πόθεν δ' αὕτη ἡ φωνή. Κακκάσκιμοι.] τουτέστι κλαύσει καὶ πενθήσεις, καὶ γοήσεις. κακκάζειν δὲ λέγουσιν οἱ ἀττικοὶ τὰς ὄρνεις πρὸς τὸ τίκτειν φθεγγομένας. Γρύζεις] κράζεις, κραυγάζεις, βοᾷς, ἀπὸ τοῦ γρῦ ἥπερ ἐστὶ φωνὴ τῶν χοίρων. Λαλοκαὶ καταρατογύναικα] λαλοῦσαν καὶ κατάρατον τὴν γυναῖκα.

BISETVS. Στωμυλλομένη] φλυαροῦσα. στωμύλος, ὁ φλύαρος, καὶ λάλος. στωμυλία, ἡ φλυαρία. καὶ

F

στωμυλλάσθαι νῦν ταυτὸν τῷ στωμύλλειν, καὶ στωμύλλεσθαι, ἤγουν φλυαρεῖν, καὶ ἄγαν, καὶ ἀκαίρως λαλεῖν. Εἰσήρρηκας] μετὰ τῆς σου φθορᾶς δεῦρο εἰσεπήδησας. εἰς τὴν σου φθορὰν εἰσῆλθες. περὶ τοῦ εἰσέρρειν, περὶ οὗ ἐν τοῖς ἄνω πολλὰ προείρηται. Μονῳδῆσαι] θρηνεῖν. μονῳδία, θρῆνος ᾠδῆς. μονῳδεῖν δὲ κυρίως λέγεται ὅταν εἷς μόνος τὴν ᾠδὴν ᾄδει, καὶ οὐχ' ὁμοῦ ὁ χορὸς ὅλος. Σ. νῦν δὲ μεταφορικῶς ἀντὶ τοῦ μόνον θρηνεῖν λαμβάνεται. χαριεῖ δὲ, χαρίσῃ, χάριν δώσεις, παρέξεις. Ὀτότυζε] ὀτοτύζειν, λέγειν, θρηνεῖν. Ἡσύχιος. Σὶ κακόν;] ὁ Σκύθης κἀνταῦθα, καὶ ἐν τοῖς ἑξῆς, ὡς βάρβαρος βαρβαρίζει. ὅθεν σὶ κακόν; τί κακόν ἐστι; ποτετοπωνή; πόθεν αὕτη ἡ φωνή; σὶ λαλεῖς; τί λαλεῖς; τί

G

φωνεῖς; τί λέγεις; κλαύσαιμι. κλαύσῃ. κλαύσεις, οἰμώξεις. κακκάσκιμοι, καγχάζεις. Λάβε τὴ μιαρά] λάβε τὴν μιαρὰν λάλον, καὶ κατάρατον γυναῖκα.